30

πυθαγορικὰ ἔπη τοῦ πυθαγόρου λεγόμενα
χρυσᾶ τοῖς φωσὶ περιέχοντα
τῆς τελειότητος τῶν πυθαγορείων·
πυθαγόρου σαμίου

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διά-
κεινται, τίμα, καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγανούς· τούς τε καταχθονίους
σέβε δαίμονας ἔννομα ῥέζων
θεσμοὺς τοὺς οὐρανίους ἀσπάζεο· ἔννομα
ῥέζων· τούς τε γονεῖς τίμα· τούς τ' ἄγχιστ' ἐκγεγα-
ῶτας· τῶν δ' ἄλλων, ἀρετῇ ποιοῦ φίλον ὅστις
ἄριστος· πραέσι δ' εἶκε λόγοις· ἔργοισί τ' ἐπωφε-
λίμοισι· μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος
εἵνεκα μικρῆς, ὄφρα δύνῃ· δύναμις γὰρ ἀνά- γνω.
γκης ἐγγύθι ναίει· ταῦτα μὲν, οὕτως ἴσθι· κρα-
τεῖν δ' εἰθίζεο τῶνδε· γαστρὸς μὲν πρώτιστα·
καὶ ὕπνου λαγνείης τε καὶ θυμοῦ· πρήξῃς δ' αἰ-
σχρόν ποτε μήτε μετ' ἄλλου· μήτ' ἰδίῃ· πάν-
των δὲ μάλιστα αἰσχύνεο σαυτόν· εἶτα δικαιο-
σύνην ἀσκεῖν ἔργῳ τε λόγῳ τε· μηδ' ἀλό-
γως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε· ἀλλὰ
γνῶθι, ὡς θανέειν μὲν πέπρωται ἅπασι· γνω.
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ· ἄλλο-
τ' ὀλέσθαι· ὅσσα τε δαιμονίαισι τύχαις βροτοὶ ἄλ-
γε' ἔχουσιν· ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε·

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_139/0069